νὸν εἰς τὸ ἀναδέξασθαι τὸν πατριαρχικὸν τοῦτον θρόνον, ἀγαπητὸν ἀδελφὸν ἡμῶν καὶ συλλειτουργὸν ἐν ἁγίῳ πνεύματι, ὡς ἀγρυπνήσαντα πρὸ τῶν ἄλλων καὶ σπουδάσαντα τὴν τοῦ τυράννου κατάλυσιν, καὶ τελειώσαντα τὴν ἡμετέραν ἔφεσιν καὶ ἐλευθερίαν· δεύτερον, τὸν ἱερώτατον μητροπολίτην Παλαιῶν Πατρῶν κὺρ Ἀρσένιον, καὶ τρίτον τὸν θεοφιλέστατον ἐπίσκοπον Σινᾶ καὶ Ῥαΐθοῦ κὺρ Εὐγένιον. Ὅθεν κατεστρώθησαν ὧδε ἐν τῷ ἱερῷ κώδικι κατὰ τὸ ,ζγγ΄. Φεβρουαρίου κζ΄. ἡμέρᾳ Σαββάτῳ ά. τῶν ἁγίων νηστειῶν, ἰνδ. ιγ΄.

(Οἱ αὐτοὶ καὶ εἰς τὰς ψήφους πατριάρχαι καὶ ἀρχιερεῖς.)

## 3

### Ἴσον τῆς καθαιρέσεως Γαβριὴλ τοῦ ἐπισκόπου Δρυνουπόλεως.

Ἱερεμίας ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ἱερώτατε μητροπολῖτα Ἰωαννίνων ὑπέρτιμε καὶ ἔξαρχε πάσης Κερκύρας, ἐν ἁγίῳ πνεύματι ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν μετριότητος, καὶ θεοφιλέστατοι ἐπίσκοποι τῆς αὐτῆς ἁγιωτάτης μητροπόλεως, ὅ τε Βελᾶς, ὁ Γλυκέος, καὶ ὁ Χειμάρρας, χάρις εἴη ὑμῖν, καὶ εἰρήνη καὶ ἔλεος ἀπὸ θεοῦ πατρὸς καὶ κυρίου Ἰησοῦ Χριστοῦ. Γνωστὸν ἔστω ὑμῖν, ὅτι ἐπειδὴ πρὸ ἡμερῶν γράμμα ἐπέμφη παρὰ τῆς σῆς ἱερότητος πρὸς τὸν διδάσκαλον κὺρ Νικηφόρον, διεξερχόμενον πολλὰ ἄτοπα καὶ παρανομίας τοῦ ἐπισκόπου Δρυνουπόλεως Γαβριὴλ, ἀξιούσης αὐτὸν ὡς ἂν ἐντεῦθεν ἀπαλλάξηται καὶ ἐλευθερώσῃ τὴν ἐπαρχίαν ταύτην ἐκ τῶν χειρῶν τοῦ τοιούτου δυνάστου καὶ παρανόμου ἀνδρὸς, καὶ αὐτοῦ τοῦ ἐπισκόπου κατὰ τύχην παραγενομένου ἐνταῦθα, συνοδικῶς προκαθημένης τῆς ἡμῶν μετριότητος, συνεδριαζόντων αὐτῇ καὶ τῶν καθευρεθέντων ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἀδελφῶν καὶ συλλειτουργῶν αὐτῆς,